## 8. Bacch. 3

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ
ΙΠΠΟΙΣ [ΟΛΥ]ΜΠΙΑ

Ἀριστο[κ]άρπου Σικελίας κρέουσαν
Δ[ά]ματρα ἰοστέφανόν τε Κούραν
ὕμνει, γλυκύδωρε Κλεοῖ, θοάς τ᾽ Ὀ-
  λυμ]πιοδρόμους Ἱέρωνος ἵππ[ο]υς.
σεύον]το γὰρ σὺν ὑπερόχῳ τε Νίκᾳ
σὺν Ἀγ]λαΐᾳ τε παρ᾽ εὐρυδίναν
Ἀλφεόν, τόθι] Δεινομένεος ἔθηκαν
  ὄλβιον τ[έκος στεφάνω]ν κυρῆσαι·
θρόησε δὲ λ[αὸς ⏑–]
  –] ἆ τρισευδαίμ[ων ἀνὴρ]
ὃς παρὰ Ζηνὸς λαχὼν πλεῖστ-
  αρχον Ἑλλάνων γέρας
οἶδε πυργωθέντα πλοῦτον μὴ μελαμ-
  φαρέϊ κρύπτειν σκότῳ.
βρύει μὲν ἱερὰ βουθύτοις ἑορταῖς,
βρύουσι φιλοξενίας ἀγυιαί·
λάμπει δ᾽ ὑπὸ μαρμαρυγαῖς ὁ χρυσός,
  ὑψιδαιδάλτων τριπόδων σταθέντων
πάροιθε ναοῦ, τόθι μέγι[στ]ον ἄλσος
Φοίβου παρὰ Κασταλίας [ῥ]εέθροις
Δελφοὶ διέπουσι. θεόν, θ[εό]ν τις
  ἀγλαϊζέθὼ γὰρ ἄριστος [ὄ]λβων·
ἐπεί ποτε καὶ δαμασίπ-
  π]ου Λυδίας ἀρχαγέταν,
εὖτε τὰν πεπ[ρωμέναν] Ζη-
  νὸς τελέ[σσαντος κρί]σιν
Σάρδιες Περσᾶ[ν ἁλίσκοντο στρ]ατῷ,
  Κροῖσον ὁ χρυσά[ορος]
φύλαξ᾽ Ἀπόλλων. [ὁ δ᾽ ἐς] ἄελπτον ἆμαρ
μ[ο]λὼν πολυδ[άκρυο]ν οὐκ ἔμελλε
μίμνειν ἔτι δ[ουλοσύ]ναν, πυρὰν δὲ
  χαλκ[ο]τειχέος π[ροπάροι]θεν αὐ[λᾶς]
ναήσατ᾽, ἔνθα σὺ[ν ἀλόχῳ] τε κεδ[νᾷ]
σὺν εὐπλοκάμοι[ς τ᾽] ἐπέβαιν᾽ ἄλα[στον]
θ]υ[γ]ατράσι δυρομέναις· χέρας δ᾽ [ἐς]
  αἰ]πὺν αἰθέρα σ[φ]ετέρας ἀείρας
γέ]γ[ω]νεν· “ὑπέρ[βι]ε δαῖ-
  μον, [πο]ῦ θεῶν ἐστι[ν] χάρις;
πο]ῦ δὲ Λατοίδ[ας] ἄναξ; [ἔρ-]
  ρουσ]ιν Ἀλυά[τ]τα δόμοι
–⏑–⏓–⏑–⏓] μυρίων
  –⏑–⏓–⏑–]ν.
⏓–⏔⏓⏔⏑–⏑]ν ἄστυ,
ἐρεύθεται αἵματι χρυσο]δίνας
Πακτωλός, ἀ[ε]ικελίως γυνα[ῖ]κες
  ἐξ ἐϋκτίτων μεγάρων ἄγονται·
τὰ πρόσθεν [ἐχ]θρὰ φίλα· θανεῖν γλύκιστον”.
τόσ᾽ εἶπε, καὶ ἁβ[ρο]βάταν κ[έλε]υσεν

ἅπτειν ξύλινον δόμον. ἔκ[λα]γον δὲ
παρθένοι, φίλας τ᾽ ἀνὰ ματρὶ χεῖρας
ἔβαλλον· ὁ γὰρ προφανὴς
θνατοῖσιν ἔχθιστος φόνων·
ἀλλ᾽ ἐπεὶ δεινο[ῦ π]υρὸς λαμ-
πρὸν διάϊ[σσεν μέ]νος,
Ζεὺς ἐπιστάσας [μελαγκευ]θὲς νέφος
σβέννυεν ξανθὰ[ν φλόγα.]
ἄπιστον οὐδὲν ὅ τι θ[εῶν μέ]ριμνα
τεύχει· τότε Δαλογενὴ[ς Ἀπό]λλων
φέρων ἐς Ὑπερβορέο[υς γ]έροντα
σὺν τανισφύροις κατ[έν]ασσε κούραις
δι᾽ εὐσέβειαν, ὅτι μέ[γιστα] θνατῶν
ἐς ἀγαθέαν <ἀν>έπεμψε Π[υθ]ώ.
ὅσο[ι] <γε> μὲν Ἑλλάδ᾽ ἔχουσιν, [ο]ὔτι[ς,]
ὦ μεγαίνητε Ἱέρων, θελήσει
φάμ]εν σέο πλείονα χρυ-
σὸν [Λοξί]ạ πέμψαι βροτῶν.
εὖ λέ]γειν πάρεστιν ὅσ[τις]
μ]ὴ φθόνῳ πιαίνεται,
⏕⏑]λη φίλιππον ἄνδρ᾽ ἀ[ρ]ήϊ-
ον [–]ίου σκᾶπτρ[ο]ν Διὸ[ς]
ἰοπλό]κων τε μέρο[ς ἔχοντ]α Μουσᾶν·
⏓–]μαλέαι ποτ[ὲ –⏑]·´ ιων
⏓–]νος ἐφάμερον α[⏑–⏑]·
–⏑]α σκοπεῖς· βραχ[ύς ἐστιν αἰών·]
πτε⌞ρ]όεσσα δ᾽ ἐλπὶς ὑπ[⏑⏑– ν]όημα⌟
ἐφαμ]ερίων· ὁ δ᾽ ἄναξ [Ἀπόλλων]
⏓–]·´ λος εἶπε Φέρη[τος υἷι·]
“θνατὸν εὖντα χρὴ διδύμους ἀέξειν
γνώμας, ὅτι τ᾽ αὔριον ὄ-
ψεαι μοῦνον ἁλίου φάος,
χὤτι πεντήκοντ᾽ ἔτεα ζω-
ὰν βαθύπλουτον τελεῖς.
ὅσια δρῶν εὔφραινε θυμόν· τοῦτο γὰρ
κερδέων ὑπέρτατον”.
φρονέοντι συνετὰ γαρύω· βαθὺς μὲν
αἰθὴρ ἀμίαντος· ὕδωρ δὲ πόντου
οὐ σάπεται· εὐφροσύνα δ᾽ ὁ χρυσός·
ἀνδρὶ δ᾽ οὐ θέμις, πολιὸν π[αρ]έντα
γῆρας, θάλ[εια]ν αὖτις ἀγκομί<σ>σαι
ἥβαν. ἀρετᾶ[ς γε μ]ὲν οὐ μινύθει
βροτῶν ἅμα σ[ώμ]ατι φέγγος, ἀλλὰ
Μοῦσά νιν τρ[έφει.] Ἱέρων, σὺ δ᾽ ὄλβου
κάλλιστ᾽ ἐπεδ[είξ]αο θνα-
τοῖς ἄνθεα· πράξα[ντι] δ᾽ εὖ
οὐ φέρει κόσμ[ον σι]ωπά·
σὺν δ᾽ ἀλαθ[είạ] καλῶν
καὶ μελιγλώσσου τις ὑμνήσει χάριν
Κηΐας ἀηδόνος.